τὸ α μακρόν. ὦ Πολυδάμα, ὦ Λαοδάμα.

Δυϊκά.

§. χκ΄. Ἡ δὲ Εὐθεῖα τῶν δυϊκῶν, τῶν μὲν Ἰσοσυλλάβων μακροκαταληκτεῖ. τῶν δὲ Περιττοσυλλάβων βραχυκαταληκτεῖ. Ἡ δὲ Γενική, ἀεὶ μακροκαταληκτεῖ.

Πληθυντικά.

§. χκά. Τῶν δὲ Πληθυντικῶν, ἡ μὲν Εὐθεῖα βραχυκαταληκτεῖ, τῶν μὲν Ἰσοσυλλάβων εἰς αι, ἢ εἰς οι, λήγουσα, τῶν δὲ Περιττοσυλλάβων, εἰς ες. Ἡ δὲ Γενική, ἀεὶ μακροκαταληκτεῖ.

Δοτική.

§. χκβ΄. Ἡ δὲ Δοτική, τῶν μὲν Ἰσοσυλλάβων μακροκαταληκτεῖ τῇ διφθόγγῳ. τῶν δὲ Περιττοσυλλάβων, βραχυκαταληκτεῖ, τῷ ι ὅλως δὲ τὴν παραλήγουσαν ἰσοχρονεῖ ταῖς ἄλλαις Πλαγίαις. ἐνίοτε δὲ καὶ μείζω ἔχει τὸν χρόνον. ὡς ἐπὶ τοῦ λέοντος, λέουσι. καὶ λέγοντος, λέγουσι.

§. χκγ΄. Καθόλου γὰρ τὰ διὰ τοῦ ντ, κλινόμενα, ἐπὶ μὲν τῶν ἄλλων Πλαγίων συστέλλει τὴν παραλήγουσαν, ἐπὶ δὲ τῆς Πληθυντικῆς Δοτικῆς ἐκτείνει αὐτήν. παντὸς, πᾶσι. ἱμάντος, ἱμᾶσιν. ἱστάντος, ἱστᾶσι. βάντος, βᾶσι. τιθέντος, τιθεῖσι. ζευγνύντος ζευγνῦσι, καὶ τὰ ὅμοια

§. χκδ΄. Αἱ δὲ τῶν συγκοπτομένων Πληθυντικαὶ Δοτικαὶ, βραχυκαταληκτοῦσιν, ἀνδράσι, πατράσι, μητράσι, θυγατράσι.